# TEZAUR LITURGIC

**9 MAI**

**HARALAMBOS BOUSIA**

# MEGALINARIA
# SF.CUVIOS-MUCENIC
# NICOLAE
# DE LA VUNENA

ATENA,2015

www.tezaurliturgic.ro



# 9 ΜΑΪΟΥ

# ΝΙΚΟΛΑΟΥ ΒΟΥΝΕΝΟΙΣ

# ΟΣΙΟΜΑΡΤΥΡΟΣ Μεγαλυνάρια

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

Ἀκροστιχὶς ἀλφαβητική.

Ἀθλητὰ πανευκλεές, τοῦ σταδίου ἀριστεῦ, καὶ Βουνένων λαμπηδών, σὲ Νικόλαε ὑμνῶ.

Βασιλείας τοῦ Χριστοῦ, τεῖχος ὄντως ἀῤῥαγές, καὶ ἀνόμων ὀλετήρ, ὤφθης Μάρτυς γεραρέ.

Γεωργήσας ἐμμελῶς, σπόρον θείων ἐντολῶν, ἀρετῶν καρπὸν πολύν, ἤνεγκας τῷ Λυτρωτῇ.

Δέξαι Μάρτυς εὐσταλές, καὶ ἡδύπνοε λειμών, πολιτείας ἀκραιφνοῦς, ἥν προσάγω σοι ᾠδήν.

Ἐνθεώτατε φωστήρ, τῶν Βουνένων ἀστραπαῖς, σῶν καμάτων φρυκτωρεῖς, εὐσεβούντων τοὺς χορούς.

Ζήλῳ κρείττονος ζωῆς, κατεφρόνησας φθαρτῶν, καὶ ἐπτέρωσας τὸν νοῦν, θαυμαστὲ πρὸς οὐρανόν.

Ἠγωνίσω ἀνδρικῶς, κατ᾽ Ἀράβων ὡς Χριστοῦ, στρατιώτης ἀληθής, καὶ ὁπλίτης πανσθενής.

Θεοσύλλεκτον χορόν, ἐξ ἁγίων ἀθλητῶν, συνεκρότησας λαμπρῶς, ἐν Τυρνάβῳ εὐσταλές.

Ἰατρεῖον τοῦ δουκός, ὤφθης Εὐφημιανοῦ, τοῦ ἐκ λέπρας ζοφερᾶς, τρυχομένου Ἀθλητά.

Κατευνάσας πειρασμούς, ἀσιγήτῳ προσευχῇ, ὦ Νικόλαε σαρκός, ὤφθης χάριτος ναός.

Λαμπρυνθεὶς μαρμαρυγαῖς, πίστεως καὶ προσευχῆς, τὴν ζοφώδη τοῦ ἐχθροῦ, ἀπεδίωκας ἀχλύν.

Μεγαλύνομεν τῆς σῆς, καρτερίας τὸ στεῤῥόν, οἱ προστάτην ἀσφαλῆ, κεκτημένοι σε πιστοί.

Νικολάου τοῦ κλεινοῦ, χρυσοπτέρυγος πτηνοῦ, τοῦ σκηνοῦντος ἐν Ἐδέμ, ἀρωγὴν ἀνευφημῶ.

Ξενωθεὶς τῶν γεηρῶν, πόθῳ σου θεοφιλεῖ, τοῖς Βουνένων ἀσκητικαῖς, προσεχώρησας ἑκών.

Ὁλοτρόπως τῷ Θεῷ, ἀνακείμενος σοφέ, ὤφθης ἔμψυχος ναός, θεαρέστου ἀρωγῆς.

Πλήρης ἄτρωτε χαρᾶς, ἐκεντήθης τὴν πλευράν, ἐν Βουνένων τοῖς δρυμοῖς, αἶνον πέμπων τῷ Θεῷ.

Ῥείθροις σοῦ τῶν διδαχῶν, ἤρδευσας τὴν σὴν φρουράν, καὶ πρὸς ἔνθεον ζωήν, ἴθυνας αὐτὴν κλυτέ.

Στέφος νίκης ἐκ χειρῶν, δεδεγμένος τοῦ Θεοῦ, σὺν Ἀγγέλων τοῖς χοροῖς, χαίρεις ἐν τοῖς οὐρανοῖς.

Τρίβον τὴν τῶν ἀθλητῶν, καὶ Ὁσίων ἐν ταυτῷ, διανύσας θεϊκῆς, δόξης ἔτυχες σεμνέ.

Ὑπὲρ πάσας καρτερέ, τὰς ἡλίου ἀστραπάς, καταυγάζεις τὰς ψυχάς, τῶν τιμώντων σε ἀεί.

Φυλακτήριον ἡμῶν, πέλεις πάντων τῶν πιστῶς, ὦ Νικόλαε σαφῶς, γεραιρόντων σὴν θανήν.

Χελιδὼν Χριστοῦ τερπνή, ἐν τῷ ἔαρος καιρῷ, τοὺς πιστοὺς χαροποιεῖς, ἀρετῶν σου ταῖς ᾠδαῖς.

*Δόξα. Τριαδικόν.*

Ψάλλοντές Σε μυστικῶς, ὑπερύμνητε Τριάς, σὺν Πατρί τε καὶ Υἱῷ, Πνεῦμα μέλπομεν σεπτόν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὡς μητέρα ἀγκαλῆ, τοῦ τῶν ὅλων Λυτρωτοῦ, σὲ δοξάζομεν Ἁγνή, μυροθήκη θεϊκή.

